*Βάκχον Εὔιον ἡμῖν.*
*μύστις νάματος ἧι Κύπρις*
*ὑμεναίους κροτοῦσα·*
*χάρασσ᾽ Ἔρωτας ἀνόπλους*
*καὶ Χάριτας γελώσας*
*ὑπ᾽ ἄμπελον εὐπέταλον*
*εὐβότρυον κομῶσαν·*
*σύναπτε κούρους εὐπρεπεῖς*
*†ἀν μη† Φοῖβος ἀθύρηι.*

## 6 (5 B.)

*Στέφος πλέκων ποτ᾽ εὗρον*
*ἐν τοῖς ῥόδοις Ἔρωτα,*
*καὶ τῶν πτερῶν κατασχών*
*ἐβάπτισ᾽ εἰς τὸν οἶνον,*
*λαβὼν δ᾽ ἔπιον αὐτόν·*
*καὶ νῦν ἔσω μελῶν μου*
*πτεροῖσι γαργαλίζει.*

## 7 (6 B.)

*Λέγουσιν αἱ γυναῖκες·*
*'Ἀνάκρεον, γέρων εἶ·*
*λαβὼν ἔσοπτρον ἄθρει*
*κόμας μὲν οὐκέτ᾽ οὔσας,*
*ψιλὸν δέ σευ μέτωπον.'*
*ἐγὼ δὲ τὰς κόμας μέν,*
*εἴτ᾽ εἰσὶν εἴτ᾽ ἀπῆλθον,*



SLUB Wir führen Wissen.
http://digital.slub-dresden.de/id408079479/13
UNIVERSITÄT LEIPZIG